οὐκ ἔστι ταῦτα κεφάλαια ἀλλ' ἐπιχείρημα ἐπὶ τῷ κεφαλαίῳ λαμβανόμενον. τὸ γὰρ κεφάλαιον πολλοῖς κατασκευάζεται καὶ διαφόροις ἐπιχειρήμασιν, ὡς πολλάκις καὶ εἰς ὅλην ὑπόθεσιν ἀρκεῖν τὸ κεφάλαιον· τοῦ γὰρ πράγματος ἰδιάζοντος ἐν ταῖς ὑποθέσεσι καὶ συγκειμένου ἐκ μερικοῦ προσώπου καὶ πράγματος τὸ κεφάλαιον εἰκότως μερικόν ἐστι ζήτημα καὶ ἐκ ποικίλων ἐπιχειρημάτων ἐκ τῶν περιστατικῶν εὑρισκομένων τε καὶ λεγομένων κατεσκεύασται. ἐν δὲ τῇ θέσει οὐδὲν ὑπάρχει τοιοῦτον· οὐδὲ γάρ ἐστι ζητούμενα τὰ κεφάλαια, ἀλλὰ πράγματος ὄντος ψιλοῦ προηγουμένως διὰ τούτων ἀποδεικνύναι σπουδάζομεν ⟨τὸ⟩ φύσει καλόν, μηδεμίαν ἀνθυφορμοῦσαν ἐκ τῶν κεφαλαίων ἔχοντες ζήτησιν, ἀλλ' ὥσπερ διδασκαλίαν καὶ σκιαγραφίαν ὡς εἰπεῖν τῶν κεφαλαίων ποιούμενοι καὶ τῆς τῶν ἐπιχειρημάτων λήψεως παρασκευάζοντες οὕτω τὴν γυμνασίαν ποιούμεθα. ἔτι τὸ κεφάλαιον, προηγούμενον ἔχον τὴν ζήτησιν καὶ πρῶτον ἡμῖν παρασκευάζον τὴν αἴσθησιν τῆς ἐν αὐτῷ ζητήσεως, ἐκ πάντων τῶν περιστατικῶν τῇ ὑποθέσει ἢ λύεται ἢ συνίσταται· ἐν θέσει δὲ οὐδεμία περίστασις, οὐ πρόσωπον, οὐ τόπος, οὐ χρόνος, οὐ τὰ ἑξῆς· ὥστε πῶς δύναται κεφάλαια λέγεσθαι τὰ τὴν ζήτησιν ἐν θέσει μὴ ἔχοντα, ἁπλῶς δὲ διὰ τὸ καλὸν λαμβανόμενα; πλὴν δυνατὸν ἐμφιλονείκως ἐρωτᾶν καὶ σοφίζεσθαι τοὺς ἐν ῥητορικῇ βαθείας ὑπήνας καθέλκοντας, ὡς τούτων κεφαλαίων ὄντων ἐν θέσει.

---

**108** κεφάλαιον **Wc** fort. ὑπόθεσις, ⟨ἐλέγχειν δύναμαι ῥαδίως· ταὐτὸ γάρ, ὅπερ ἀνωτέρω — l. 19 — εἴρηται, καὶ νῦν⟩ λέγω ὅτι **Wc** om. **Vω** **109. 110** fort. ἐπιχειρήματα ἀπὸ τῶν κεφαλαίων λαμβανόμενα **110** πολλοῖς **Vω** πολλάκις **Wc** **116. 117** λεγομένων suspect. **118** οὐδὲ scripsi οὔτε **Vω Wc** **123** ἐπιρημάτων **Wc** **130** δύνασθαι **Wc** **132** ἐρωτᾶν **Vω Wc** fort. ἐνστῆναι, cf. l. 107 **133** βαθείας **Wc** om. **Vω** ὑπήνας καθέλκοντας **Wc** ὑπήθέλκοντας **Vω**

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415494478/105 UNIVERSITÄT LEIPZIG